Ακαδημία Αθηνών / Academy of Athens

**μεταμέλεια.** Μεταμέλεια/μετάνοια, repentance, Δημόκριτος 43 *μ ε τ α μ έ λ ε ι α ἐπ' αἰσχροῖσιν ἔργμασι βίου σωτηρίη.* Πρβλ. *μετανοεῖν.*

**μετανοεῖν** (ἀντίθ. *προβουλεύεσθαι*). Μετανοῶ/σκέπτομαι ἐκ τῶν ὑστέρων, repent/think better of, Δημόκριτος 66 *προβουλεύεσθαι κρεῖσσον πρὸ τῶν πράξεων ἢ μ ε τ α ν ο ε ῖ ν.* Πρβλ. *μεταμέλεια.*

**μεταξύ.** Μεταξὺ / ἀνάμεσα, among, Ζήνων 3.5-6 *εἰ πολλά ἐστιν, ἄπειρα τὰ ὄντα ἐστίν· ἀεὶ γὰρ ἕτερα μ ε τ α ξ ὺ τῶν ὄντων ἐστί, καὶ πάλιν ἐκείνων ἕτερα μ ε τ α ξ ύ. καὶ οὕτως ἄπειρα τὰ ὄντα ἐστί.*

**μεταπίπτειν 1.** Μεταπίπτω/μετατρέπομαι, change/be altered, Ἡράκλειτος 88 *τάδε γὰρ μ ε τ α π ε σ ό ν τ α ἐκεῖνά ἐστι κἀκεῖνα πάλιν μ ε τ α π ε σ ό ν τ α ταῦτα* Μέλισσος 8(2)-(4)-(5)-(6) *καὶ μὴ μ ε τ α π ί π τ ε ι ν μηδὲ γίνεσθαι ἑτεροῖον ... πάντα ἑτεροιοῦσθαι ἡμῖν δοκεῖ καὶ μ ε τ α π ί π τ ε ι ν ἐκ τοῦ ἑκάστοτε ὁρωμένου ... οὐ γὰρ ἂν μ ε τ έ π ι π τ ε ν, εἰ ἀληθῆ ἦν ... ἢν δὲ μ ε τ α π έ σ η, τὸ μὲν ἐὸν ἀπώλετο, τὸ δὲ οὐκ ἐὸν γέγονεν* Διογένης 2.7 *καὶ μὴ τὸ αὐτὸ ἐὸν μ ε τ έ π ι π τ ε πολλαχῶς καὶ ἑτεροιοῦτο* Δημόκριτος Α 135 (DK II 117,31) οὐδὲ γὰρ τοῦ ψυχροῦ καὶ τοῦ θερμοῦ φύσιν ὑπάρχειν, ἀλλὰ τὸ σχῆμα *μ ε τ α π ῖ π τ ο ν* ἐργάζεσθαι καὶ τὴν ἡμετέραν ἀλλοίωσιν 9 *ἡμεῖς δὲ τῷ μὲν ἐόντι οὐδὲν ἀτρεκὲς συνίεμεν, μ ε τ α π ῖ π τ ο ν δὲ κατά τε σώματος διαθήκην καὶ τῶν ἐπεισιόντων καὶ τῶν ἀντιστηριζόντων* 191.3 *ἀνθρώποισι γὰρ εὐθυμίη γίνεται μετριότητι τέρψιος καὶ βίου συμμετρίῃ· τὰ δ' ἐλλείποντα καὶ ὑπερβάλλοντα μ ε τ α π ί π τ ε ι ν τε φιλεῖ καὶ μεγάλας κινήσιας ἐμποιεῖν τῇ ψυχῇ.* Πρβλ. *ἀλλάσσειν* **2.** Ἐκπίπτω/ξεπέφτω, fall/be brought down, Δημόκριτος 101 *ἐκτρέπονται πολλοὶ τοὺς φίλους, ἐπὴν ἐξ εὐπορίης εἰς πενίην μ ε τ α π έ σ ω σ ι ν.*

**μετάρσιος** Μετέωρος, suspended in air/in suspense, Ἐμπεδοκλῆς 35.9 *πολλὰ δ' ἄμεικτ' ἕστηκε κεραιομένοισιν ἐναλλάξ, ὅσσ' ἔτι Νεῖκος ἔρυκε μ ε τ ά ρ σ ι ο ν.*

**μεταρυσμοῦν.** Μεταπλάσσω/μεταβάλλω, transform, Δημό-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

κριτος 33 *ἡ φύσις καὶ ἡ διδαχὴ παραπλήσιόν ἐστι. καὶ γὰρ ἡ διδαχὴ μ ε τ α ρ υ σ μ ο ῖ τὸν ἄνθρωπον, μ ε τ α ρ υ σ μ ο ῦ σ α δὲ φυσιοποιεῖ.* Πρβλ. *ῥυθμός, ῥυσμοῦσθαι, μετακοσμεῖσθαι.*

**μεταφύεσθαι.** Μεταβάλλομαι ὀργανικά, be changed organically, Ἐμπεδοκλῆς 108.1 *ὅσσον ⟨γ'⟩ ἀλλοῖοι μ ε τ έ φ υ ν, τόσον ἄρ σφισιν αἰεὶ καὶ τὸ φρονεῖν ἀλλοῖα παρίσταται.* Πρβλ. *μεταρυσμοῦν.*

**μετέρχεσθαι** (ἀντίθ. *μένειν*). Μετακινοῦμαι, be moved, Ξενοφάνης 26.2 *αἰεὶ δ' ἐν ταὐτῷ μίμνει κινούμενος οὐδὲν οὐδὲ μ ε τ έ ρ χ ε σ θ α ί μιν ἐπιπρέπει ἄλλοτε ἄλλῃ.* Πρβλ. *κινεῖσθαι.*

**μετέχειν.** Μετέχω, participate in, Διογένης 5.6 *καὶ ἔστιν οὐδὲ ἓν ὅτι μὴ μ ε τ έ χ ε ι τούτου· μ ε τ έ χ ε ι δὲ οὐδὲ ἓν ὁμοίως τὸ ἕτερον τῷ ἑτέρῳ.* || **μετέχειν μοῖραν.** Ἔχω μερίδιο, have a part, Ἀναξαγόρας 6.4 *ἀλλὰ πάντα παντὸς μ ο ῖ ρ α ν μ ε τ έ χ ε ι* 12.1 *τὰ μὲν ἄλλα παντὸς μ ο ῖ ρ α ν μ ε τ έ χ ε ι* Δημόκριτος 258 *εὐθυμίης (?) καὶ δίκης... ἐν παντὶ κόσμῳ μέζω μ ο ῖ ρ α ν μ ε θ έ ξ ε ι* 263 *δίκης καὶ ἀρετῆς μεγίστην μ ε τ έ χ ε ι μ ο ῖ ρ α ν.*

**μετρεῖσθαι 1.** Μετριέμαι/ὑπολογίζομαι, be measured, Ἡράκλειτος 31 *⟨γῆ⟩ θάλασσα διαχέεται, καὶ μ ε τ ρ έ ε τ α ι εἰς τὸν αὐτὸν λόγον, ὁκοῖος πρόσθεν ἦν ἢ γενέσθαι γῆ* **2.** Μετριέμαι/εἶμαι σύμμετρος, be measured/be proportionate, Δημόκριτος 285 *ὅκως ἂν ... μ ε τ ρ ῆ τ α ι ἐπὶ τοῖς ἀναγκαίοις ἡ ταλαιπωρίη.*

**μέτριος** (ἀντίθ. *πολύς*). Μέτριος/σύμφωνος μὲ τὸ μέτρο, moderate, Δημόκριτος 285 *ὅκως ἄν τις μ ε τ ρ ί η ς τε κτήσιος ἐπιμέληται* 286 *εὐτυχὴς ὁ ἐπὶ μ ε τ ρ ί ο ι σ ι χρήμασιν εὐθυμεόμενος, δυστυχὴς δὲ ὁ ἐπὶ πολλοῖσι δυσθυμεόμενος.* || **τὸ μέτριον** (ἀντίθ. *ὑπερβολή, ἔλλειψις*). Μετριότης, moderateness, Δημόκριτος 233 *εἴ τις ὑπερβάλλοι τ ὸ μ έ τ ρ ι ο ν, τὰ ἐπιτερπέστατα ἀτερπέστατα ἂν γίγνοιτο.*

**μετριότης** (συνών. *τὸ μέτριον*, ἀντίθ. *ὑπερβολή, ἔλλειψις*). Τὸ μέτριον/τὸ σύμφωνο μὲ τὸ μέτρον, moderation, Δημόκριτος 191.2 *ἀνθρώποισι γὰρ εὐθυμίη γίνεται μ ε τ ρ ι ό τ η τ ι τέρψιος καὶ βίου συμμετρίῃ.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ